# ΔΗΜΟΚΡΙΤΟΣ

εἶναι. ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις.
πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει.
τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι [vgl. fr. 3].
ποιητὰ δὲ νόμιμα [ποιότητας δὲ νόμῳ Zeller] εἶναι, φύσει δ' ἄτομους καὶ κενόν.
καὶ ταῦτα μὲν αὐτῷ ἐδόκει.
τὰ δὲ βιβλία αὐτοῦ κτλ. §§46-49 s. A 33.

Σουΐδας

Δημόκριτος Ἡγησιστράτου (οἱ δὲ Ἀθηνοκρίτου ἢ Δαμασίππου) γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος κατὰ τὴν ΟΖ ὀλυμπιάδα [472-469] (οἱ δὲ κατὰ τὴν Π [460-457] φασίν) Ἀβδηρίτης ἐκ Θρᾴκης φιλόσοφος μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες, καὶ μάγων καὶ Χαλδαίων Περσῶν. ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά. εἶτα ἐπανῆλθε καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάστῃ.
ἦρξε δὲ ἐν Ἀβδήροις διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς.
μαθητὴς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος, οὗ πάλιν ἀκροαταὶ Ἀνάξαρχος καὶ Ἱπποκράτης ὁ ἰατρός [schief; vgl. A 10].
ἐπεκλήθη δὲ Σοφία ὁ Δημόκριτος.
καὶ Γελασῖνος δὲ διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων.
γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε Μέγας διάκοσμος καὶ τὸ Περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ ἐπιστολάς. Aus Hesychios, folgen Excerpte aus Diogenes.

σ. 373-374

Σουΐδας [aus Ἡσύχιος] Καλλίμαχος [Schriftenverzeichnis] Πίναξ τῶν Δημοκρίτου Γλωσσῶν καὶ Συνταγμάτων. Στέφανος Βυζάντιος [aus Ἡσύχιος] p. 640,5 Mein. Ἡγησιάναξ γραμματικὸς [Susemihl Al. L. II 31] γέγραφε Περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἓν καὶ Περὶ ποιητικῶν λέξεων. ἦν δὲ Τρωιαδεύς.
Διογένης IX 45-49 Tetralogien-Ordnung der Thra-

Καλλίμαχος: Πίναξ τῶν Δημοκρίτου Γλωσσῶν καὶ Συνταγμάτων aus Ἡσύχιος Σουΐδας

Aus Ἡσύχιος Στ. Βυζάντιος p. 640.5

(ἀκολουθεῖ)

6

Ἡγησιάναξ Γραμματικός Τριάδων: Περὶ τῶν Δημοκρίτου Λέξεων

Θράσυλος: ἀναγέγραφε βιβλία αὐτοῦ κατὰ τάξιν κατὰ τετραλογίαν

Διογένης Λαέρτ. IX 45–49

syllog. Τὰ δὲ βιβλία αὐτοῦ καὶ Θράσυλος ἀναγέγραφε κατὰ τάξιν οὕτως ὡσπερεὶ καὶ τὰ Πλάτωνος κατὰ τετραλογίαν.

Ἔστι δὲ Ἠθικὰ μὲν τάδε·

I. 1. Πυθαγόρης. 2. Περὶ τῆς τοῦ σοφοῦ διαθέσιος. 3. Περὶ τῶν ἐν Ἅιδου [so Suid. τριτογένεια: ἀίδη BPF] 4. Τριτογένεια [τοῦτο δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς ἃ πάντα τὰ ἀνθρώπινα συνέχει).

II 1. Περὶ ἀνδραγαθίας ἢ Περὶ ἀρετῆς. 2. Ἀμαλθείας κέρας. 3. Περὶ εὐθυμίης. 4. Ὑπομνημάτων ἠθικῶν [Bücherzahl fehlt]· ἡ γὰρ Εὐεστὼ οὐχ εὑρίσκεται. Καὶ ταῦτα μὲν τὰ Ἠθικά.

Φυσικὰ δὲ τάδε·

III 1. Μέγας διάκοσμος (ὃν οἱ περὶ Θεόφραστον Λευκίππου φασὶν εἶναι). 2. Μικρὸς διάκοσμος. 3. Κοσμογραφίη. 4. Περὶ τῶν πλανήτων.

IV 1. Περὶ φύσεως πρῶτον. 2. Περὶ ἀνθρώπου φύσιος (ἢ Περὶ σαρκός) δεύτερον. 3. Περὶ νοῦ. 4. Περὶ αἰσθησίων (ταῦτά τινες ὁμοῦ γράφοντες Περὶ ψυχῆς ἐπιγράφουσι.)

V 1. Περὶ χυμῶν. 2. Περὶ χροῶν. 3. Περὶ τῶν διαφερόντων ῥυσμῶν. 4. Περὶ ἀμειψιρυσμιῶν.

VI 1. Κρατυντήρια (ὅπερ ἐστὶν ἐπικριτικὰ [so BP, vgl. Suid. s.v. κρατυντήρια: ἐπικρατικὰ F: ἐπικρατυντικὰ Bywater] τῶν προειρημένων. 2. Περὶ εἰδώλων [εἰδώλου BP] ἢ Περὶ προνοίας. 3. Περὶ λοιμῶν [F: λοιπῶν BP¹] κακῶν [so BPF] ΑΒΓ. 4. Ἀπορημάτων [Bücherzahl fehlt]

ταῦτα καὶ περὶ φύσεως.

Τὰ δὲ Ἀσύντακτά ἐστι τάδε.

1. Αἰτίαι οὐράνιαι. 2. Αἰτίαι ἀέριοι. 3. Αἰτίαι ἐπίπεδοι. 4. Αἰτίαι περὶ πυρὸς καὶ τῶν ἐν πυρί. 5. Αἰτίαι περὶ φωνῶν. 7. Αἰτίαι περὶ ζώων ΑΒΓ. 8. Αἰτίαι σύμμικτοι. 9. Περὶ τῆς λίθου.

ταῦτα καὶ τὰ Ἀσύντακτα.

Μαθηματικὰ δὲ τάδε.

VII 1. Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κύκλου καὶ σφαίρης. 2. Περὶ γεωμετρίης. 3. Γεωμετρικῶν. 4. Ἀριθμοί.

VIII 1. Περὶ ἀλόγων γραμμῶν καὶ ναστῶν ΑΒ. 2. Ἐκπετάσματα. 3. Μέγας ἐνιαυτὸς ἢ Ἀστρονομίη, παράπηγμα. 5. Ἅμιλλα κλεψύδραι [so die Hdss.]

(ἀποδοθῆ)

IX 1. Οὐρανογραφίη. 2. Γεωγραφίη. 3. Πολογραφίη. 4. Ἀκτινογραφίη.
τοσαῦτα καὶ τὰ Μαθηματικά.

Μουσικὰ δὲ τάδε:

X 1. Περὶ ῥυθμῶν καὶ ἁρμονίης. 2. Περὶ ποιήσιος. 3. Περὶ καλλοσύνης ἐπέων. 4. Περὶ εὐφώνων καὶ δυσφώνων γραμμάτων.

XI 1. Περὶ Ὁμήρου ἢ Ὀρθοεπείης καὶ γλωσσέων. 2. Περὶ ἀοιδῆς. 3. Περὶ ῥημάτων. 4. Ὀνομαστικῶν.
τοσαῦτα καὶ τὰ Μουσικά.

Τεχνικὰ δὲ τάδε:

XII 1. Πρόγνωσις. 2. Περὶ διαίτης ἢ Διαιτητικόν. 3. [ἢ] Ἰητρικὴ γνώμη
4. Αἰτίαι περὶ ἀκαιριῶν καὶ ἐπικαιριῶν.

XIII 1. Περὶ γεωργίης ἢ Γεωμετρικόν [so BPF] 2. Περὶ ζωγραφίης. 3. Τακτικὸν καὶ 4. Ὁπλομαχικόν
τοσαῦτα καὶ τάδε.
τάττουσι δέ τινες [Ergänzer der Kallimacheischen Pinax] καὶ ἰδίᾳ ἐκ τῶν Ὑπομνημάτων καὶ ταῦτα.
1. Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων. 2. Περὶ τῶν ἐν Μερόῃ. 3. Ὠκεανοῦ περίπλους. 4. Περὶ ἱστορίης. 5. Χαλδαϊκὸς λόγος. 6. Φρύγιος λόγος. 7. Περὶ πυρετοῦ καὶ τῶν ἀπὸ νόσου βησσόντων. 8. Νομικὰ αἴτια. 9. Χερνικὰ προβλήματα [so B: χέρνιβα ἢ προβλήματα FP].
τὰ δ' ἄλλα, ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτόν, τὰ μὲν ἐκ τῶν αὐτοῦ διεσκεύασται, τὰ δ' ὁμολογουμένως ἐστὶν ἀλλότρια.
ταῦτα καὶ περὶ τῶν βιβλίων αὐτοῦ καὶ τοσαῦτα.

v. 374–389
Dionys. De comp. verb. 24
Im mittleren Stile ragen hervor
φιλοσόφων δὲ κατ' ἐμὴν δόξαν Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης· τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους.
Vgl. Timon S. 367, 11.

Διονύσιος: De comp. verb. 24.

v. 375 –
Ὅλως δὲ παρὰ τὰ ἐπιπολῆς περὶ οὐδενὸς οὐθεὶς ἐπέστησεν ἔξω Δημοκρίτου. Οὗτος δ' ἔοικε μὲν περὶ ἁπάντων φροντίσαι, ἤδη δὲ ἐν τῷ πῶς διαφέρει

Ἀριστοτέλης: De Gen. et Corr. A 2 315a 34

Αἴτιον δὲ τοῦ μὴ ἐλθεῖν τοὺς προγενεστέρους ἐπὶ τὸν τρόπον τοῦτον [die wissenschaftliche Methode der Ar.], ὅτι τὸ τί ἦν εἶναι καὶ τὸ ὁρίσα-

Ἀριστοτέλης: De part. anim. A 1. 642a 24

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σασθαι τὴν οὐσίαν οὐκ ἦν, ἀλλ' ἥψατο μὲν Δημόκριτος πρῶτος, ὡς οὐκ ἀναγκαῖον δὲ τῇ φυσικῇ θεωρίᾳ, ἀλλ' ἐκφερόμενος ὑπ' αὐτοῦ τοῦ πράγματος, ἐπὶ Σωκράτους δὲ τοῦτο μὲν ηὐξήθη, τὸ δὲ ζητεῖν τὰ περὶ φύσεως ἔληξε.

Simplic.: de caelo p. 294 33 Heib.

Προσαγορεύει δὲ Δημόκριτος τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι τῷ τε κενῷ καὶ τῷ οὐδενὶ καὶ τῷ ἀπείρῳ, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τε δενὶ καὶ τῷ ναστῷ καὶ τῷ ὄντι.

Simplic.: Phys. 28,15 aus Theophr. Phys. op. fr. 8

Παραπλησίως δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος ὁ Ἀβδηρίτης ἀρχὰς ἔθετο τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὂν τὸ δὲ μὴ ὂν ἐκάλει· ὡς ⟨γὰρ⟩ ὕλην τοῖς οὖσι τὰς ἀτόμους ὑποτιθέντες τὰ λοιπὰ γεννῶσι ταῖς διαφοραῖς αὐτῶν.
Τρεῖς δὲ εἰσιν αὗται ῥυσμὸς τροπὴ διαθιγή,
ταὐτὸν δ' εἰπεῖν σχῆμα καὶ θέσις καὶ τάξις.

Ἱππόλυτος: Refut. I 13 D. 565

Ἔλεγε δὲ Δημόκριτος ἀπείρους εἶναι κόσμους καὶ μεγέθει διαφέροντας. Ἔν τισι δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἔν τισι δὲ μείζω τῶν παρ' ἡμῖν καὶ ἔν τισι πλείω. Εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα καὶ τῇ μὲν πλείους τῇ δὲ ἐλάττους, καὶ τῇ μὲν γίνεσθαι τῇ δ' ἐκλείπειν. Φθείρεσθαι δὲ αὐτοὺς ὑπ' ἀλλήλων προσπίπτοντας. Εἶναι δὲ ἐνίους κόσμους ἐρήμους ζῴων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ. Τοῦ δὲ παρ' ἡμῖν κόσμου πρότερον τὴν γῆν τῶν ἄστρων γενέσθαι, εἶναι δὲ τὴν μὲν σελήνην κάτω, ἔπειτα τὸν ἥλιον, εἶτα τοὺς ἀπλανεῖς ἀστέρας. Τοὺς δὲ πλανήτας οὐδ' αὐτοὺς ἔχειν ἴσον ὕψος. Ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν.

Ἀέτ. I 3.16 D. 285

Δημόκριτος τὰ ναστὰ καὶ κενὰ [näml. ἀρχὰς εἶναι.]

Γαληνός VIII 931.

Τί δηλοῖ τὸ ναστότερον (bei Archigenes) οὐ πάνυ σαφῶς οἶδα διὰ τὸ μηδὲ σύνηθες εἶναι τοῖς Ἕλλησι τοὔνομα κατὰ τοῦ τοιούτου πράγματος λέγεσθαι. ἄρτον μὲν γάρ τινα ναστὸν ἐκάλουν, οὐ μὴν ἄλλο γέ τι σῶμα πρὸς αὐτῶν οὕτως ὀνομαζόμενον ἐπίσταμαι. αὐτὸς δὲ ὁ Ἀρχιγένης ... δοκεῖ καὶ τὸ ναστὸν ἀντὶ τοῦ πλήρους ὀνομάζειν.
(ἀπο[illegible])

# (ΔΗΜΟΚΡΙΤΟΣ)

Ἀετ. I 13,18 D. 285

In Bericht über Epicur, also nicht theophrastisch.
Δημόκριτος μὲν γὰρ ἔλεγε δύο, μέγεθός τε καὶ σχῆμα, ὁ δὲ Ἐπίκουρος τούτοις καὶ τρίτον βάρος προσέθηκεν. 12.6 [D. 311: ebenfalls hinter Epikur] Δημόκριτος τὰ πρῶτά φησι σώματα (ταῦτα δ' ἦν τὰ ναστά) βάρος μὲν οὐκ ἔχειν, κινεῖσθαι ⟨δὲ⟩ κατ' ἀλληλοτυπίαν ἐν τῶι ἀπείρωι. δυνατὸν ⟨δ'⟩ εἶναι κοσμιαίαν ὑπάρχειν ἄτομον.

Γαληνός: De Elem. Sec. Hipp. I 2 [I 417 K.]

„Νόμωι γὰρ χροιή, νόμωι πικρόν, νόμωι γλυκύ, ἐτεῆι δ' ἄτομον καὶ κενόν" [fr. 125]
ὁ Δημόκριτός φησιν ἐκ τῆς συνόδου τῶν ἀτόμων γίνεσθαι νομίζων ἁπάσας τὰς αἰσθητὰς ποιότητας ὡς πρὸς ἡμᾶς τοὺς ἀνθρώπους αἰσθανομένους αὐτῶν, φύσει δὲ οὐδὲν εἶναι λευκὸν ἢ μέλαν ἢ ξανθὸν ἢ ἐρυθρὸν ἢ πικρὸν ἢ γλυκύ.
Τὸ γὰρ δὴ „νόμωι" ταὐτὸ βούλεται τῶι οἷον „νομιστί" καὶ „πρὸς ἡμᾶς", οὐ κατὰ τὴν αὐτῶν τῶν πραγμάτων φύσιν.
Ὅπερ δ' αὖ πάλιν „ἐτεῆι" καλεῖ παρὰ τὸ „ἐτεόν", ὅπερ ἀληθὲς δηλοῖ, ποιήσας τοὔνομα.
Καὶ εἴη ἂν ὁ σύμπας αὐτοῦ νοῦς τοῦ λόγου τοιόσδε·
Νομίζεται μὲν [τοι] παρὰ τοῖς ἀνθρώποις λευκόν τι εἶναι καὶ μέλαν καὶ γλυκὺ καὶ πικρόν, κατὰ δὲ τὴν ἀλήθειαν δὲν καὶ μηδὲν ἐστι τὰ πάντα [vgl. fr. 156]
Καὶ γὰρ αὖ καὶ τοῦτ' εἴρηκεν αὐτός, „δὲν" μὲν τὰς ἀτόμους ὀνομάζων, „μηδὲν" δὲ τὸ κενόν.
Αἱ μὲν οὖν ἄτομοι σύμπασαι σώματα οὖσαι σμικρὰ χωρὶς ποιοτήτων εἰσί, τὸ δὲ κενὸν χώρα τις, ἐν ἧι φερόμενα ταυτὶ τὰ σώματα ἄνω τε καὶ κάτω σύμπαντα διὰ παντὸς τοῦ αἰῶνος ἢ περιπλέκονται πως ἀλλήλοις ἢ προσκρούει καὶ ἀποπάλλεται.
Καὶ διακρίνει δὲ καὶ συγκρίνει πάλιν εἰς ἄλληλα κατὰ τὰς τοιαύτας ὁμιλίας κἀκ τούτου τά τε ἄλλα συγκρίματα πάντα ποιεῖ καὶ τὰ ἡμέτερα σώματα καὶ τὰ παθήματα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

αὐτῶν καὶ τὰς αἰσθήσεις

Ἀπαθῆ δ' ὑποτίθενται τὰ σώματα εἶναι τὰ πρῶτα (τινὲς μὲν αὐτῶν ὑπὸ σκληρότητος ἄθραυστα, καθάπερ οἱ περὶ Ἐπίκουρον, ἔνιοι δὲ ὑπὸ σμικρότητος ἀδιαίρετα, καθάπερ οἱ περὶ τὸν Λεύκιππον), ἀλλ' οὐδ' ἀλλοιοῦσθαι κατά τι δυνάμενα ταύτας δὴ τὰς ἀλλοιώσεις, ἃς ἅπαντες ἄνθρωποι πεπιστεύκασιν εἶναι, διδαχθέντες ὑπὸ τῶν αἰσθήσεων, οἷον οὔτε θερμαίνεσθαί τί φασιν ἐκείνων οὔτε ψύχεσθαι, κατὰ δὲ τὸν αὐτὸν τρόπον οὔθ' ὑγραίνεσθαι οὔτε ξηραίνεσθαι, πολὺ δὲ δὴ μᾶλλον ἔτι μήτε μελαίνεσθαι μήτε λευκαίνεσθαι, μήτ' ἄλλην τινὰ ὅλως ἐπιδέχεσθαι ποιότητα κατὰ μηδεμίαν μεταβολήν.

Διογένης v. Oinoanda fr. 80. 81 col. 3, 3 [Bull. Corr. Hell. 21 423

Ἂν γάρ τῇ Δημοκρίτου τις χρήσηται λόγῳ, μηδεμίαν μὲν ἐλευθέραν φάσκων ταῖς ἀτόμοις κίνησιν εἶναι διὰ τὴν πρὸς ἀλλήλας σύνκρουσιν αὐτῶν, ἔνθεν δὲ φαίνεσθαι κατηναγκασμένως πάντα κινεῖσθαι, φήσομεν πρὸς αὐτόν· οὔκουν οἶδας ὅστις ποτ' εἶ καὶ ἐλευθέραν τινὰ ἐν ταῖς ἀτόμοις κίνησιν εἶναι, ἣν Δημόκριτος μὲν οὐχ εὗρεν, Ἐπίκουρος δὲ εἰς φῶς ἤγαγεν, παρεγκλιτικὴν ὑπάρχουσαν, ὡς ἐκ τῶν φαινομένων δείκνυσιν;

Πλούταρχος adv. Colot. 3 p. 1108 E

Καίτοι πολὺν χρόνον αὐτὸς ἑαυτὸν ἀνηγόρευε Δημοκρίτειον ὁ Ἐπίκουρος, ὡς ἄλλοι τε λέγουσι καὶ Λεοντεύς, εἷς τῶν ἐπ' ἄκρον Ἐπικούρου μαθητῶν, πρὸς Λυκόφρονα γράφων, τιμᾶσθαί τέ φησι Δημόκριτον ὑπ' Ἐπικούρου διὰ τὸ πρότερον ἅψασθαι τῆς ὀρθῆς γνώσεως, καὶ τὸ σύνολον τὴν πραγματείαν Δημοκρίτειον προσαγορεύεσθαι διὰ τὸ περιπεσεῖν αὐτὸν πρότερον ταῖς ἀρχαῖς περὶ φύσεως.

Ὁ δὲ Μητρόδωρος ἄντικρυς (ἐν τῷ) Περὶ φιλοσοφίας εἴρηκεν, ὡς εἰ μὴ καθηγήσατο Δημόκριτος, οὐκ ἂν ~~περὶ~~ προῆλθεν Ἐπίκουρος ἐπὶ τὴν σοφίαν.

Διόδωρος X 8 [Epikur nannte]

Δημόκριτον Ληρόκριτον

(ἀκολουθεῖ)

Εἰ δὲ δεῖ Ποσειδωνίῳ πιστεῦσαι καὶ τὸ περὶ τῶν ἀτόμων δόγμα παλαιόν ἐστιν ἀνδρὸς Σιδονίου Μώχου πρὸ τῶν Τρωϊκῶν χρόνων γεγονότος.

[Στράβων: XVI p. 757]

Δημόκριτος δὲ καὶ Ἐπίκουρος ἀτόμους, εἰ μή τι ἀρχαιοτέραν ταύτην θετέον τὴν δόξαν καὶ ὡς ἔλεγεν ὁ Στωικὸς Ποσειδώνιος ἀπὸ Μώχου τινὸς ἀνδρὸς Φοίνικος καταγομένην.

[Sext.: adv. math. IX 363]

Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι ... Φοίνικά τε γενέσθαι Μῶχον καὶ Θρᾷκα Ζάμολξιν καὶ Λίβυν Ἄτλαντα.

[Διογένης pr. 1]

Εἰσὶ δὲ οἱ ἀπὸ τῶν γιγνομένων κατὰ τὸν κόσμον παραδόξων ὑπονοήσαντες εἰς ἔννοιαν ἡμᾶς ἐληλυθέναι θεῶν, ἀφ' ἧς φαίνεται εἶναι δόξης καὶ ὁ Δημόκριτος· ὁρῶντες γάρ, φησί, τὰ ἐν τοῖς μετεώροις παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων καθάπερ βροντὰς καὶ ἀστραπὰς κεραυνούς τε καὶ ἄστρων συνόδους [Kometen] ἡλίου τε καὶ σελήνης ἐκλείψεις ἐδειματοῦντο θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι.

[Sext.: IX 24]

Aet. II 25,9 [D.356] (über den Mond) s. S. 320.37. 30 (διὰ τί γεώδης φαίνεται σελήνη) §3 [D 361] Δημόκριτος ἀποσκίασμά τι τῶν ὑψηλῶν ἐν αὐτῇ μερῶν· ἄγκη γὰρ αὐτὴν ἔχειν καὶ νάπας.

[Ἀέτ. II 25,9 [D.356] §3 [D.361]]

Δημόκριτος βροντὴν μὲν ἐκ συγκρίματος ἀνωμάλου τὸ περιειληφὸς αὐτὸ νέφος πρὸς τὴν κάτω φορὰν ἐκβιαζομένου. Ἀστραπὴν δὲ σύγκρουσιν νεφῶν, ὑφ' ἧς τὰ γεννητικὰ τοῦ πυρὸς διὰ τῶν πολυκένων ἀραιωμάτων ταῖς παρατρίψεσιν εἰς τὸ αὐτὸ συναλιζόμενα διηθεῖται. Κεραυνὸν δέ, ὅταν ἐκ καθαρωτέρων καὶ λεπτοτέρων ὁμαλωτέρων τε καὶ πυκναρμόνων, καθάπερ αὐτὸς γράφει, γεννητικῶν τοῦ πυρὸς ἡ φορὰ βιάζηται. Πρηστῆρα δέ, ὅταν πολυκενώτερα συγκρίματα πυρὸς ἐν πολυκένοις καταχθέντα χώραις καὶ περιοχαῖς ὑμένων ἰδίων σωματοποιούμενα τῷ πολυμιγεῖ τὴν ἐπὶ τὸ βάθος ὁρμὴν λάβῃ.

[Ἀέτ. III 3,1 [D.369]]

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀέτ. IV 5,1 [D. 391] — Ἱπποκράτης μὲν γὰρ καὶ Δημόκριτος καὶ Πλάτων ἐν ἐγκεφάλῳ τοῦτο [sc. τὸ ἡγεμονικὸν] ἱδρυνθῆσθαι.

n. Theodoret

Ἀετ. I 15,8 D. 314 — Δημόκριτος φύσει μὲν μηδὲν εἶναι χρῶμα. Τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε ναστὰ καὶ τὸ κενόν. τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι διαταγῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ, ὧν ἡ μέν ἐστι τάξις ὁ δὲ σχῆμα ἡ δὲ θέσις.

Δίδυμος Ἄρειος Στοβαῖος II 7,3ⁱ — σ. 401. Δημόκριτος ~~καὶ Πλάτων~~ τὴν δ' (εὐδαιμονίαν καὶ) εὐθυμίαν καὶ εὐεστὼ καὶ ἁρμονίαν, συμμετρίαν τε καὶ ἀταραξίαν καλεῖ.

Στράβων I p. 61 — Προστιθέασι δὲ καὶ τὰς ἐκ τῶν μεταστάσεων μεταβολὰς ἐπὶ πλέον τὴν ἀθαυμασίαν ἡμῖν κατασκευάζειν ἐθέλοντες, ἣν ὑμνεῖ Δημόκριτος καὶ οἱ ἄλλοι φιλόσοφοι πάντες.

Κλήμης Strom. II 138 p. 503 P. — Δημόκριτος δὲ γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων. Συγκατάττεται δὲ αὐτῷ καὶ Ἐπίκουρος.

Ἀέτ. II 25,9 [D. 356 — σ. 320 Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας [sc. τὴν σελήνην].

σ. 402 – 416

## FRAGMENTE

I. II. Δημοκρίτου Ἠθικά

I. 1. Πυθαγόρης

I. 2. Περὶ τῆς τοῦ Σοφοῦ Διαθέσιος

I. 3 Περὶ τῶν ἐν Ἅιδου (ĀB ..?)

Ἀθην. IV 168B — Δημόκριτον δ' Ἀβδηρῖται δημοσίᾳ κρίνοντες ὡς κατεφθαρκότα τὰ πατρῷα, ἐπειδὴ ἀναγνοὺς αὐτοῖς τὸν Μέγαν διάκοσμον καὶ τὰ Περὶ τῶν ἐν Ἅιδου εἶπεν εἰς ταῦτα ἀνηλωκέναι, ἀφείθη.

Πρόκλ. in remp. II 113.6 Koll. — Τὸν μὲν ~~περὶ τὸν ἀποθανόντα~~ ἀποθανεῖν δοξάντων ἔπειτα ἀναβιούντων ἱστορίαν ἄλλοι τε πολλοὶ τῶν πα-

λαιῶν ἤθροισαν καὶ Δημόκριτος ὁ φυσικὸς ἐν τοῖς Περὶ τοῦ Ἅιδου γράμμασιν. καὶ τὸν θαυμαστὸν ἐκεῖνον Κολώτην, τὸν Πλάτωνος ἐχθρόν, Ἐπικούρειον ὄντα πάντως ἔδει <τὰ τοῦ> καθηγεμόνος τοῦ Ἐπικούρου δ<όγματα> μὴ ἀγνοεῖν μηδὲ ἀγνοοῦντα ζητεῖν, πῶς τὸν ἀποθανόντα πάλιν ἀναβιῶναι δυνατόν. οὐδὲ γὰρ ὁ θάνατος ἦν ἀπόσβεσις ὡς ἔοικεν, τῆς συμπάσης ζωῆς τοῦ σώματος, ἀλλ' ὑπὸ μὲν πληγῆς τινος ἴσως καὶ τραύματος παρεῖτο, τῆς δὲ ψυχῆς οἱ περὶ τὸν μυελὸν ἔμενον ἔτι δεσμοὶ κατερριζωμένοι καὶ ἡ καρδία τὸ ἐμπύρευμα τῆς ζωῆς εἶχεν ἐγκείμενον τῷ βάθει· καὶ τούτων μένοντος αὖθις ἀνεκτήσατο τὴν ἀπεσβηκυῖαν ζωὴν ἐπιτήδειον πρὸς τὴν ψύχωσιν γενόμενον.

I. 4. Τριτογένεια.

Τριτογένεια ἡ Ἀθηνᾶ κατὰ Δημόκριτον φρόνησις νομίζεται. γίνεται δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα· βουλεύεσθαι καλῶς, λέγειν ἀναμαρτήτως καὶ πράττειν ἃ δεῖ. (Etym. Orion. p. 153,5)

II. 1. Περὶ Ἀνδραγαθίας ἢ Περὶ Ἀρετῆς.

II. 2. Ἀμαλθείας Κέρας.

II. 3. Περὶ Εὐθυμίας ἢ Εὐεστώ.

Οὐδὲν οὕτως εὐθυμίας ποιητικὸν ὡς τὸ μὴ πολλὰ πράσσειν μηδὲ δυσκόλοις ἐπιχειρεῖν πράγμασιν μηδὲ παρὰ δύναμίν τι βιάζεσθαι τὴν ἑαυτοῦ· πάντα γὰρ ταῦτα ταραχὰς ἐντίκτει τῇ φύσει. (Ἐπικούρειος Διογένης Οἰνοανδ. fr. 27. [Bull. Corr. Hell. 31 374)

Τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μήτε ἅσσ' ἂν πρήσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν. ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης. (Στοβαῖος IV 103,25)

Ἀλλὰ καὶ οἱ Ἀβδηρῖται τέλος ὑπάρχειν διδάσκουσιν· Δημόκριτος μὲν ἐν τῷ περὶ τέλους τὴν εὐθυμίαν, ἣν καὶ εὐεστὼ προσηγόρευσεν. καὶ πολλάκις ἐπιλέγει· τέρψις γὰρ καὶ ἀτερπίη οὖρος <τῶν τε συμφόρων καὶ τῶν ἀσυμφόρων>, ὃ προσῆσθαι τέλος τῷ βίῳ τῶν ἀνθρώπων τοῦτο νέων καὶ τῶν πρεσ- (Κλήμης Strom. II 139 p. 498 P.)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

κεκλήκασιν. Ἑκαταῖος δὲ αὐτάρκειαν καὶ δὴ Ἀπολλόδοτος ὁ Κυζικηνὸς τὴν ψυχαγωγίαν καθάπερ Ναυσιφάνης τὴν ἀκαταπληξίαν· ταύτην γὰρ ἔφη ὑπὸ Δημοκρίτου <u>ἀθαμβίην</u> λέγεσθαι.

II. 4. Ὑπομνημάτων Ἠθικῶν ⟨Ā B̄ …?⟩
Nicht identisch den unechten Hypomnemata unten.

III. IV. <u>Φυσικά</u>.
III. 1. Μέγας Διάκοσμος ⟨Λευκίππου⟩
III. 2. Μικρὸς Διάκοσμος.

Διογένης: IX. 41 | γέγονε δὲ [Demokrit] τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ Μικρῷ διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. συντετάχθαι δέ φησι τὸν Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις.

Φαβωρῖνος: Παντοδαπὴ Ἱστορία. ἐν Διογένει IX 34. 35 | Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου, ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι, τὸν δὲ ὑφῃρῆσθαι. διασύρειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτόν, ὅτι δὴ μὴ προσήκατο αὐτόν.

III. 3. Κοσμογραφίη
III. 4. Περὶ τῶν Πλανήτων.
IV. 1. Περὶ Φύσιος Ā ⟨ἢ Περὶ Κόσμου Φύσιος⟩
IV. 2. Περὶ Φύσιος B̄ ἢ Περὶ Ἀνθρώπου Φύσιος ἢ Περὶ Σαρκός.
IV. 3. Περὶ Νοῦ ⟨Λευκίππου⟩ } ἢ Περὶ Ψυχῆς.
IV. 4. Περὶ Αἰσθησίων }
V. 1. Περὶ Χυμῶν.
V. 2. Περὶ Χροῶν.
V. 3. Περὶ τῶν Διαφερόντων Ῥυσμῶν ⟨ἢ Περὶ Ἰδεῶν⟩.
V. 4. Περὶ Ἀμειψιρυσμιῶν.
VI. 1. Κρατυντήρια.
VI. 2. Περὶ Εἰδώλων ἢ Περὶ Προνοίας.
VI. 3. Περὶ Λογικῶν ἢ Κανὼν Ā B̄ Γ̄

Sext. VII 138. 139 | Ἐν δὲ τοῖς Κανόσι <u>δύο</u> <u>φησὶν εἶναι</u> <u>γνώσεις</u> τὴν μὲν διὰ τῶν αἰσθήσεων τὴν δὲ διὰ τῆς διανοίας, ὧν <u>τὴν</u> μὲν <u>διὰ τῆς διανοίας</u> <u>γνησίην</u> <u>καλεῖ</u> προσμαρτυρῶν αὐτῇ τὸ πιστὸν εἰς ἀληθείας κρίσιν, τὴν δὲ διὰ τῶν αἰσθήσεων σκοτίην ὀνομάζει ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἀπλανές.
Λέγει δὲ κατὰ λέξιν.
„Γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτί-

ης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις.
„Ἡ δὲ γνησίη, ἀποκεκριμένη δὲ ταύτης."
Εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων·
„Ὅταν ἡ σκοτίη μηκέτι δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ' ἐπὶ λεπτότερον <δέῃ ζητεῖν, τότε ἐπιγίνεται ἡ γνησίη ὄργανον ἔχουσα τοῦ νῶσαι λεπτότερον>.

Ἀσύντακτα
[nicht in die Tetralogienordnung der Physika eingereihte Problemschriften]

1. Αἰτίαι Οὐράνιοι.
2. Αἰτίαι Ἀέριοι.
3. Αἰτίαι Ἐπίπεδοι.
4. Αἰτίαι Περὶ Πυρὸς καὶ Τῶν ἐν Πυρί.
5. Αἰτίαι Περὶ Φωνῶν.
6. Αἰτίαι Περὶ Σπερμάτων καὶ Φυτῶν καὶ Καρπῶν.
7. Αἰτίαι Περὶ Ζῴων $\bar{A}\bar{B}\bar{\Gamma}$.
8. Αἰτίαι Σύμμικτοι.
9. Περὶ τῆς Λίθου.

VII–IX Μαθηματικά.
VII 1. Περὶ Διαφορῆς Γνώμης [Γωνίης.] ἢ Περὶ Ψαύσιος Κύκλου καὶ Σφαίρης.
VII 2. Περὶ Γεωμετρίης.
VII 3. Γεωμετρικῶν.
VII 4. Ἀριθμοί.
VIII 1. Περὶ Ἀλόγων Γραμμῶν καὶ Ναστῶν [Κλάσεων Hultsch] $\bar{A}\bar{B}$
VIII 2. Ἐκπετάσματα.
VIII 3. Μέγας Ἐνιαυτὸς ἢ Ἀστρονομίη. Παράπηγμα.
Theophrasts Schrift Περὶ τῆς Δημοκρίτου Ἀστρολογίας — Διογ. V. 43.

Καὶ Φερεκύδης ἐν τῇ Θεολογίᾳ καὶ ἔτι Δημόκριτος ἐν τοῖς Περὶ ἀστρονομίας καὶ ταῖς ὑπολειπομέναις συντάξεσι συνεχέστερον χρῶνται τῇ ἐμεῦ καὶ ἔτι τῇ ἐμέο. — Ἀπολλων. de Pronom. p. 65. 15 Schneid.

VIII 4. Ἅμιλλα Κλεψύδρῃ
Etwa ἅμιλλα κλεψύδραι <καὶ οὐρανοῦ>?
IX.1. Οὐρανογραφίη

(ἀκολουθεῖ)

IX.2. Γεωγραφίη.

Agathem. I 1.2 — Agathem. I.1.2 μετὰ [nach Anaximander, Hekataios, Hellanikos] Δαμάστης ὁ Σιγειεὺς τὰ πλεῖστα ἐκ τῶν Ἑκαταίου μεταγράψας περίπλουν ἔγραψεν. ἑξῆς Δημόκριτος καὶ Εὔδοξος καὶ ἄλλοι τινὲς γῆς περιόδους καὶ περίπλους ἐπραγματεύσαντο. οἱ μὲν οὖν παλαιοὶ τὴν οἰκουμένην ἔγραφον στρογγύλην, μέσην δὲ κεῖσθαι τὴν Ἑλλάδα καὶ ταύτης Δελφούς· τὸν ὀμφαλὸν γὰρ ἔχειν τῆς γῆς. Πρῶτος δὲ Δημόκριτος πολύπειρος ἀνὴρ συνεῖδεν, ὅτι προμήκης ἐστὶν ἡ γῆ ἡμιόλιον τὸ μῆκος τοῦ πλάτους ἔχουσα. Συνῄνεσε τούτῳ καὶ Δικαίαρχος ὁ Περιπατητικός.

IX.3 Πολογραφίη.

IX.4. Ἀκτινογραφίη.

X.XI. Μουσικά.

X.1. Περὶ Ῥυθμῶν καὶ Ἁρμονίης

X.2. Περὶ Ποιήσιος.

Clem. Strom. VI 168 p.827 P. — Καὶ ὁ Δημόκριτος ὁμοίως [wie Plato Ion 534 B] «ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν». Vgl. fr. 21. 112. 119.

X.3. Περὶ Καλλοσύνης Ἐπέων.

X.4. Περὶ Εὐφώνων καὶ Δυσφώνων Γραμμάτων.

Eustath. ad Γ 1 p.370.15 — Τὸ Γάμμα στοιχεῖον γάμμα φασὶν Ἴωνες καὶ μάλιστα Δημόκριτος, ὁ καὶ τὸ μῦ μῶ λέγει [aus Photius, dessen blosse … τὸ μῦ στοιχεῖον … Δημόκριτος erhalten].

Schol. in Dionys. Thrac. p.184.3f. Hilgard — Τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν … παρὰ Δημοκρίτῳ δὲ κλίνονται· λέγει γὰρ δέλτατος καὶ θῆτατος.

XI.1. Περὶ Ὁμήρου ἢ Ὀρθοεπείης καὶ Γλωσσέων.

Dio 36.1 [II 109.21 Arnim] — Ὁ μὲν Δημόκριτος περὶ Ὁμήρου φησὶν οὕτως: «Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων», ὡς οὐκ ἐνὸν ἄνευ θείας καὶ δαιμονίας φύσεως οὕτως καλὰ καὶ σοφὰ ἔπη ἐργάσασθαι. Vgl. fr. 18.

XI.2. Περὶ Ἀοιδῆς.

XI.3. Περὶ Ῥημάτων.

XI.4. Ὀνομαστικῶν [Buchzahl fehlt, oder Ὀνομαστικόν.].

(ἀκολουθεῖ)

-416 

XII. XIII. Τεχνικά.
XII. 1. Πρόγνωσις.
XII. 2. Περὶ Διαίτης ἢ Διαιτητικόν.
XII. 3. Ἰητρικὴ Γνώμη (Γνώμης Gomperz).
XII. 4. Αἰτίαι περὶ Ἀκαιριῶν καὶ Ἐπικαιριῶν.
XIII. 1. Περὶ Γεωργίης ἢ Γεωργικόν.
XIII. 2. Περὶ Ζωγραφίης.
XIII. 3. Τακτικόν.
XIII. 4. Ὁπλομαχικόν.

Aus unbestimmten schriften.
Μικρὰν ἐπιληψίαν τὴν συνουσίαν ὁ Ἀβδηρίτης ἔλεγε σοφιστής, νόσον ἀνίατον ἡγούμενος. ἢ γὰρ οὐχὶ καὶ ἐκλύσεις παρέπονται τῶι μεγέθει τῆς ἀπουσίας [κάθ. τοῦ σπέρματος] ἀναλογοῦσαι; ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου ἐκφύεταί τε καὶ ἀποσπᾶται. [86 Natorp.] Κλήμης Παιδ. II. 94 p. ~~100 P.~~ 226.227 P.
Ἱππ. ref. VIII 14 p. 428 Gott. ἄνθρωπος ἐξίσσυται, φησι (Μονόϊμος) καὶ ἀποσπᾶται μεριζόμενος.
Στοβ. III 6,28 ξυνουσίη ἀποπληξίη ἐξ ἀνθρώπων.
Vgl. Γαλ. XVII A 521. Πλιν. XXVIII 58. Cael. Aur. m. chron. I 4. Alter Arzt, nicht Demokrit [Ritter], bei Epikur p. 118, 19 Us [D. X 118] συνουσίη ὤνησε μὲν οὐδέποτε, ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψε.
ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου καὶ ἀποσπᾶται πληγῆι τινι μεριζόμενος.
σ. 426
Δημόκριτος δὲ τὰς ποιότητας ἐκβάλλων, ἵνα φησὶ "νόμωι ψυχρόν, νόμωι θερμόν, ἐτεῆι δὲ ἄτομα καὶ κενόν" καὶ πάλιν· "ἐτεῆι δὲ οὐδὲν ἴδμεν· ἐν βυθῶι γὰρ ἡ ἀλήθεια." Διογ. IX 72 nach Zeno fr. 4. S. 140.4
Δημόκριτος γοῦν αὐτός, ὥς φασιν, ἔλεγε βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν ἢ τὴν Περσῶν οἱ βασιλείαν γενέσθαι. Καὶ ταῦτα μάτην καὶ ἀναιτίως αἰτιολογῶν, ὡς ἀπὸ κενῆς ἀρχῆς καὶ ὑποθέσεως πλανωμένης ὁρμώμενος καὶ τὴν ῥίζαν καὶ τὴν κοινὴν ἀνάγκην τῆς τῶν ὄντων φύσεως οὐχ ὁρῶν, σοφίαν δὲ μεγίστην ἡγούμενος τὴν τῶν ἀσόφως καὶ ἠλιθίως συμβαινόντων κατανόησιν, καὶ τὴν τύχην τῶν μὲν καθόλου καὶ τῶν θείων δέσποιναν. Διονύσιον Ἀλεξανδρείας bei Eus. P.E. XIV 27,4

ἐφιστᾶσι καὶ βασιλίδα, καὶ πάντα γενέσθαι κατ' αὐτὴν ἀποφαινόμενος, τοῦ δὲ τῶν ἀνθρώπων αὐτὴν ἀποκηρύξαντα βίου καὶ τοὺς προσβιόντας αὐτῇ ἐλέγχονται ἀγνώμονας.

[Γαληνός] Defin. Med. 439 [XIX 449 K]

σ. 427.
Δημόκριτος λέγων «ἄνθρωποι εἷς ἔσται καὶ ἄνθρωπος πάντες»

Σενέκας: Ἐπιστολαί 7.10

Democritus ait: unus mihi pro populo est et populus pro uno.

Πλούταρχος Animine an corp. aff. 2 p. 500 D.

σ. 431.
Λέγωμεν οὖν ἐν ἡμῖν, ὅτι πολλὰ μέν, ὦ ἄνθρωπε, σοῦ καὶ τὸ σῶμα νοσήματα καὶ πάθη φύσει τε ἀνίησιν ἐξ ἑαυτοῦ καὶ προσπίπτοντα δέχεται θύραθεν· ἂν δὲ σαυτὸν ἔνδοθεν ἀνοίξῃς, ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον εὑρήσεις καὶ θησαύρισμα, ὥς φησι Δημόκριτος, οὐκ ἔξωθεν ἐπιρρεόντων, ἀλλ' ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία πολύχυτος καὶ δαψιλὴς οὖσα τοῖς πάθεσιν.

Πλούταρχος Quaest. Conv. I 1,5 p. 614 DE

Οὕτω τὰς ψυχὰς αἱ συμποτικαὶ ζητήσεις ἐμμελῶς καὶ ὠφελίμως κινοῦσιν, ἐριδαντέων δὲ κατὰ Δημόκριτον καὶ ἱμαντελικτέων λόγους ἀφετέον.
[Verderbt [illegible] Στρωμ. [illegible] p. 65 C p. 85,31 M ἔριν διαιτώντων vgl. p. 86,14] und [illegible] Στρωμ. I 22 p. 328 P ἐριδαντέες (so Clem. falsch statt ἐριδάνται; vgl. Timon fr. 282) καὶ ἱμαντελικτέας (l. ἱμαντ...)]

Πλούταρχος: de sollert. anim. 20 p. 974 A

σ. 432
Γελοῖοι δ' ἴσως ἐσμὲν ἐπὶ τῷ μανθάνειν τὰ ζῷα σεμνύνοντες, ὧν ὁ Δημόκριτος ἀποφαίνει μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ κατὰ μίμησιν.

Σχολιαστὴς in Hom. AB zu N 137

σ. 434
Δημόκριτος δὲ τὸ κυλινδρικὸν σχῆμα ὀλοοίτροχον καλεῖ.

σ. 436

Στοβαῖος II (Ecl. Eth.) 1.12 Wachsm.

Δημοκρίτου. Μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γένῃ.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(ΔΗΜΟΚΡΙΤΟΣ)

Στοβαῖος II
(Ecl. Eth.)
Wachsmuth

σ. 436. 7.3'

Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῷ. Ψυχὴ οἰκητήριον δαίμονος

σ. 437 9.4.

Οἱ δὲ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν, πλὴν ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα. Τάδε δ' οὔ(τε) πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην.

σ. 438 36.40. Δημοκρίτου

Οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται.

σ. 439 36.72

Τοῦ αὐτοῦ. Ἔστι που νέων ξύνεσις καὶ γερόντων ἀξυνεσίη. χρόνος γὰρ οὐ διδάσκει φρονεῖν, ἀλλ' ὡραίη τροφὴ καὶ φύσις.

Στοβαῖος
(Flor.) III
Hense.

σ. 440 γ.1.27.

Δημοκρίτου. Ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι. ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίαν ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.

γ.1.210.

Δημοκρίτου. Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ. τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι. ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ διανοίᾳ μὴ προσεδρεύοντα, τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα, ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ. ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται καὶ ἐπιβάλλεσθαι δι' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσιν. διόπερ τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεών, παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πρησσόντων καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσωι αὐτοῦ βέλτιον πρήσσουσί τε καὶ διάγει. ταύτης γὰρ κ' ἄρ' ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀλίγας κῆρας ἐν τῶι βίωι διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

Στοβαῖος III 3.46 σ. 442
Δημοκρίτου. Αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

3.71. Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης.

3.74. Ἀνοήμονες βιοῦσιν οὐ τερπόμενοι βιοτῆι.

σ. 444

5.26. Δημοκρίτου Τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

7.25. Δημοκρίτου. Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνος, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων. Ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

10.43. Τοῦ αὐτοῦ. Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρωι, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξιες μέζονας ἐνδείας ποιοῦσιν.

10.44 Δημοκρίτου. Κακὰ κέρδεα ζημίαν ἀρετῆς φέρει.

σ. 446.

17.25. Δημοκρίτου. Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

σ. 447.

17.37. Δημοκρίτου. Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει.

17.38. Τοῦ αὐτοῦ. Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίνοιτο.

18.30. Δημοκρίτου. Ὑγιείην εὐχῆισι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίηι δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγιείης τῆισιν ἐπιθυμίηισιν γίνονται.

18.35. Δημοκρίτου. Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται ὑπερβεβληκότες τὸν καιρὸν ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοισιν, τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί ⟨καὶ μακραί⟩. τοῦτο [τούτων Dyroff] μὲν γὰρ τὸ ἐπιθυμεῖν αἰεὶ τῶν αὐτῶν πάρεστι καὶ ὁκόταν γένωνται ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν ἀλλ' ἢ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

20.56. Δημοκρίτου. Θυμῶι μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

20.62. Δημοκρίτου. Φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωροῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει.

22.42. Δημοκρίτου. Τελευτᾶι γὰρ ἐς κακοδοξίην [κακοδοξίην Buecheler] κακῶς ὁ παρευθυνόμενος τῶι κρέσσονι.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Στοβαίου: III

σ. 448.
29.63. Δημοκρίτου. Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.
29.66. Δημοκρίτου. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.
31. 7. Δημοκρίτου. Φαῦλον, κἂν μόνος ἦις, μήτε λέξηις μήτ' ἐργάσηι· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.
σ. 449.
40. 6. Δημοκρίτου. Ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.
40.7. Τοῦ αὐτοῦ. Ἀνδρὶ σοφῶι πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

Στοβαίου IV (flor.) Meineke.

43.34. Τοῦ αὐτοῦ. Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορή.
43.40. Δημοκρίτου. Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.
σ. 450.
43.43. Τὰ κατὰ τὴν πόλιν χρεῶν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῶι περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. καὶ ἐν τούτωι πάντα ἔνι, καὶ τούτου σωιζομένου πάντα σώιζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.
43.45. Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσωι ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτωι μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσους πίμπλανται.
43.46. Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτιθεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτωι ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γίνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι καὶ τοὺς πολιήτας ὁμονόους εἶναι καὶ ἄλλα ἀγαθά, ὅσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.
σ. 452
46.46. Δημοκρίτου. Μηδέν τι μᾶλλον τοὺς (ἄλλους) ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ οἱ πάντες ἄνθρωποι· ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῆι ψυχῆι καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.
σ. 454
47.19. Δημοκρίτου. Φύσει τὸ ἄρχειν οἰκήιον τῶι κρέσσονι.

σ. 459-460

## Unechte Fragmente

Thrasylls Ὑπομνήματα καὶ ἄλλαι Τετραλογίαι (Vgl. S. 374.23)

1. Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων.

Klem. Str. I.15 p. 356.357 P

Δημόκριτος γὰρ τοὺς Βαβυλωνίους λόγους ἠθικοὺς [l. ἑλληνικοὺς, Cobet ἰδίους] πεποίηται. λέγεται γὰρ τὴν Ἀκι-

κάρου στήλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συντάξαι συγγράμμασι. κἄστιν ἐπισημήνασθαι παρ' αὐτοῦ „τάδε λέγει Δημόκριτος" γράφοντος. Καὶ μὴν καὶ περὶ αὐτοῦ [näml. γράφει], ᾗ σεμνυνόμενός φησί που ἐπὶ πολυμαθίαι· „ἐγὼ δὲ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον καὶ λογίων ἀνθρώπων πλείστων ἐπήκουσα καὶ γραμμέων συνθέσιος μετὰ ἀποδείξεως οὐδείς κώ με παρήλλαξε οὐδ' οἱ Αἰγυπτίων καλεόμενοι Ἀρπεδονάπται· σὺν τοῖς δ' ἐπὶ πᾶσιν ἐπ' ἔτεα ὀγδώκοντα [so die Hds. u. Sozom. H. Eccl. II 24: richtig πέντε Diodor. I 98,3 (oben S. 239.38)] ἐπὶ ξείνης ἐγενήθην". Ἐπῆλθε γὰρ Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων.

Das Motiv der Stele (aus Platos Krit. 119 C), das seit Euhemeros in der alexandrinischen Reiseromantik beliebt wird, die Ruhmredigkeit und die ~~vermutlich aus Theophrasts Dialog~~ ~~Reich~~ Gelehrsamkeit (Ἀρπεδονάπται) machen die Fälschung ~~aus~~ ebenso evident wie die vermutlich aus Theophrasts Dialog Ἀκίχαρος [Diog. V 50] übernommene Figur des weisen Chaldäers Akikaros [= bab. ass. Akî-akar mein Bruder ist freundlich nach C. F. Lehmann] vgl. Ἀχιάχαρος (Ἀκιάχαρος, Ἀχίκαρος) des Buches Tobit A 1,22. Wie dieses Buch scheinen auch die Βαβυλώνιοι λόγοι in Ägypten in gut alexandrinischer Zeit gefälscht zu sein. Von Bolos? Aus Pseudodemokrit stammt Ac]icar[us auf dem Trierer Musenmosaik. Vgl. Studemund u. Arch. Jahrb. V 1 ff.

2. Περὶ τῶν ἐν Μερόηι
3. Ὠκεανοῦ περίπλους.
4. Περὶ Ἱστορίης.
5. Χαλδαϊκὸς λόγος.
6. Φρύγιος λόγος.
7. Περὶ πυρετοῦ καὶ τῶν ἀπὸ νόσου βησσόντων.
8. Νομικὰ αἴτια.
9. Χερνικά [? oder Χέρνιβα, Weihkessel]; Salmasius Χειρόκμητα s. fr. 300 = Προβλήματα.

s. 460 – 472.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τέλος.